# ΤΡΙΑ ΒΥΖΑΝΤΙΑΚΑ ΑΙΝΙΓΜΑΤΑ

Εὐχαρίστως ἐκδίδομεν ἐνταῦθα τρία βυζαντιακὰ αἰνίγματα ἄνευ λύσεως, περιλαμβανόμενα ἐν τῷ κώδικι Theol. gr. 203 τῆς Αὐτοκρατορικῆς βιβλιοθήκης τῆς Βιέννης, κατ' ἀντίγραφον προθύμως παραχωρηθὲν ἡμῖν ἐν Βερολίνῳ τῷ 1909 ὑπὸ τοῦ κ. Max Treu. Τούτων τὰ μὲν δύο πρῶτα εἶνε τοῦ Μανουὴλ Μοσχοπούλου, τὸ δὲ τρίτον τοῦ πολυγράφου αὐτοκράτορος Μιχαὴλ Παλαιολόγου.

## Αἴνιγμα κυροῦ Μανουὴλ τοῦ Μοσχοπούλου

Σκέπτεο μῦθον ἐμεῖο ὃν ἐξ ἀφανοῦς ἀγορεύω
καὶ ποθέουσι δεῖξον ἐμὴν ἀψευδέα μορφήν,
εἰ σοφίη σε φιλεῖ καὶ σοὶ λόγος ἔπλετο μούσης.
Ξείνης εἰμὶ φύσεως ζῷον, πνείω δίχα πνοιῆς,
δοιά μοι ὄμματ' ὄπισθε παρ' ἐγκεφάλῳ ἐπέασιν,
οἷσιν ὑφ' ἡγεμόνεσσιν ὁδοιπορέω τὰ πρόσθεν.
κυανέην ἐπὶ γαστέρα βαίνω, ἧς ὕπο γαστὴρ
λευκόχροος κατακεύθεται οἰκτή τε κλειστή τε.
Ὄμματα δ' οὐ πάρος ὄψεαι οἰγόμεν', οὐδὲ πορείης
ἔμμενον, εἵως λευκὴ κοιλίη ἔνδον ἔπεστιν.
Αὐτὰρ ἐπὴν αὔτη γε κορεσσαμένη φαίνηται,
ὀφθαλμοῖσιν ἀριπρεπὲς εἶδος ἔχουσα, τότ' ἤδη
δέρκεται ὄμματ', ἐπειγομένως δὲ μνῶσμ' ὁδοῖο,
ἄφθογγον δέ τ' ἐόν γε πολύθροον ἐξεφαάνθην.

## Τοῦ αὐτοῦ

Ἐγκύρσας νεπόδεσσιν ἀνὴρ δείλαιος ἀέλπτως
καὐτὸς ἐν οὐ πολλαῖς ὥραις μέ προ ἐξεφαάνθη
καὶ φωνῆς μὲν ὅδ' ἦν ἐπιδευὴς ἔλλοπι ἶσα,
αὐγασάμην δ' ἕτερον νέποδα βροτῷ εἴκελον αὐδήν,
καὶ θαῦμ' ἦεν ἀκούειν ἀφραδέεσσιν ἄπιστον.

Ε.Υ. Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Τοῦ ὑψηλοτάτου βασιλέως
## κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου
## αἴνιγμα

Ὁ πρῶτός με τῶν ἀριθμῶν καθ᾿ ἑαυτὸν ὠδίνει
ἐντὸς περικλειόμενον καὶ κάτω τῆς δυάδος.
Ἀεὶ νεάζω προχωρῶν καὶ παρ᾿ ἀκμῇ τὸ νέον.
Ἂν τοι νῦν καὶ συνθήσῃς μου τὴν σύνθεσιν ἐντέχνως,
ἐν σχήμασι τῶν ἀριθμῶν τετράγωνον εὑρήσεις.
Καὶ γοῦν με πρὸς τετράγωνον ἐν ἀριθμοῖς αὐξάνεις
καὶ τῆς δεκάδος κάτωθεν, ἀλλά γε τῆς δευτέρας.
Συντήρει μου τὴν σύνθεσιν, συντήρει μου τὸ σχῆμα
καὶ θαύμασον τὴν εὕρεσιν ὡς θαυμασμῶν ἀξίαν.
Κύκλῳ τὰ μέρη μου σκοπῶν εὕρῃς ἀλλήλοις ἶσα·
καὶ πάλιν ἄλλον ἀριθμὸν τετράγωνον ἐν τούτοις
ἔχω καὶ μέρος τῶν μερῶν ἐλάχιστον ἁπάντων·
ἀλλ᾿ εὕρῃς τὸ θαυμάσιον ἶσον αὐτὸ τοῖς ἄλλοις
καὶ σῶζον τὸ τετράγωνον ὡς καὶ τὰ μείζονά μου.
Φιλευσεβοῦς ἐννόει με γέννημα βασιλέως.
Νόησον πρῶτον τίς εἰμι τῶν ἀριθμῶν ἁπάντων,
ἐννόει μου τὴν σύνθεσιν, τὸν τετραγωνισμόν μου,
τίνα μου μέρη καθ᾿ αὑτὰ μένουσιν ὡς τὸ πρῶτον,
τίνα διπλασιάζονται πρὸς αὔξησιν χωροῦντα,
τίνα πρὸς τετραπλάσιον ἐκκέχυνται τὸ χύμα.
Φιλευσεβοῦς ἐννόει με γέννημα βασιλέως
καὶ θαύμασον τὴν εὕρεσιν ὡς θαυμασμῶν ἀξίαν.

10. *ἶσα* 13. *ἶσον* 16. *τίς εἰμι*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006